874
361
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Δημόκριτος

# Δημόκριτος.

Δημοκρίτου Αποφθέγματα και γνώμαι συλλεγείσαι υπό του Ανθολόγου Ιωάννου Στοβαίου (εκδ. γερμανιστί Λειψίας 1893)

## Περί αρετής

39 Δημοκρίτου. Ανθρώποις αρμόδιον ψυχής μάλλον ή σώματος ποιέεσθαι λόγον. ψυχή μεν γαρ τελεωτάτη σκήνεος μοχθηρίην ορθοί. σκήνεος δε ισχύς άνευ λογισμού ψυχήν ουδέν τι αμείνω τίθησι.

40 Ανθρώποισι ευ [illegible]

των μεν ζηλουμένων και θαυμαζομένων ολίγην μνήμην έχοντα και [illegible] π ε α· [illegible] ταλαιπωρεόντων τους βίους θεωρίαν εννοούμενον α πάσχουσι [illegible] όκως αν τα π ε [illegible] τα σοι και υπάρχοντα μεγάλα και ζηλωτά φαίνηται και μηκέτι πλειόνων επιθυμέοντι [illegible] α κακοπαθέειν τη ψυχή. Ο γαρ θαυμάζων τους έχοντας και μακαριζομένους υπό των άλλων ανθρώπων και τη μνήμη πάσαν [illegible] ώραν

ἀεί τι καινουργεῖν ἀναγκάζεται, καὶ ἐπιβάλλεσθαι δι᾽ ἐπιθυμίαν τοῦ τι πράσσειν ἀνήκεστον ὧν νόμοι κωλύουσι. Διόπερ τὰ μὲν μὴ δίζεσθαι χρεών, ἐπὶ δὲ τοῖς εὐθυμέεσθαι χρεὼν παραβάλλοντα τὸν ἑωυτοῦ βίον πρὸς τὸν τῶν φαυλότερον πρησσόντων, καὶ μακαρίζειν ἑωυτόν, ἐνθυμεύμενον ἃ πάσχουσιν, ὅσῳ αὐτέων βέλτιον πρήσσει τε καὶ διάγει. Ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε διάξεις, καὶ οὐκ ὀλίγας κῆρας ἐν τῷ βίῳ διώσεαι, φθόνον καὶ ζῆλον καὶ δυσμενίην.

## Περὶ [illegible].

37 Δημοκρίτου.

Ἔστι ῥᾷστον μὲν ἐπ[illegible] μὴ χρή, καὶ ψέγειν· ἑκάτερον δὲ πονηροῦ τινος ἤθους.

## Περὶ φρονήσεως.

34. Δημοκρίτου. Σοφίη ἀθαμβὴς ἀξίη πάντων, τιμιωτάτη οὖσα.

35. Ὅροι γὰρ συμφορέων καὶ ἀσυμφορέων τέρψις καὶ ἀτερπίη.

51. Φρονήσιος ἔργον μέλλουσαν ἀδικίην φυλάξασθαι· ἀναλγησίης δέ, τὸ γενόμενον μὴ ἀμύνασθαι.

57. Αἱ μεγάλαι τέρψιες ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται.

# Δημοκρίτου.

## Περὶ ἀφροσύνης.

63. Δημοκρίτου. Ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπὴν τις τἀγαθὰ μὴ ἐπίσταται ποδηγεῖν, μηδὲ ὀχέειν εὐφόρως.

71. Εἴδωλα ἐσθῆτι καὶ κόσμῳ διαπρεπέα πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά.

72. Λήθη τῶν ἰδίων κακῶν θρασύτητα γεννᾷ.

73. Ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς τύχης κέρδεσιν· οἱ δὲ τῶν τοιούτων δαήμονες τοῖς τῆς σοφίης.

74. Τὸ χρῇζον οἶδεν ὁκόσον χρῄζει, ὁ δὲ χρῄζων, οὐ γινώσκει.

75. Ἀνοήμονες τὸ ζῆν ὡς στυγέοντες ζῆν ἐθέλουσι δείματι ἀΐδεω.

76. Ἀνοήμονες βιοῦσιν οὐ τερπόμενοι βιοτῇ.

77. Ἀνοήμονες νεότητος ὀρέγονται, οὐ τερπόμενοι δὲ νεότητι.

78. Ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται· τὰ δὲ παρεόντα καὶ παρῳχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν.

79. Ἄνθρωποι τὸν θάνατον φεύγοντες διώκουσιν.

80. Ἀνοήμονες οὐδὲν ἀνδάνουσιν ἐν ὅλῳ τῷ βίῳ.

81. Ἀνοήμονες θάνατον δεδοικότες, γηράσκειν ἐθέλουσι.

82. Δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα.

83. Πολλοὶ πολυμαθέες νόον οὐκ ἔχουσι.

## Περὶ σωφροσύνης

23. Δημοκρίτου. Νόμῳ καὶ ἄρχοντι καὶ σοφωτέρῳ εἴκειν κόσμιον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

877
364

## Δημόκριτος.

24. Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν, ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. Τοῦτο δ' ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι τὰς ἡδονὰς ποιοῖτο.

25. Φαύλων ἔργων καὶ τοὺς λόγους παραιτητέον.

38. Τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.

44. Πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.

44. Σωφροσύνη τὰ τερπνὰ ἀέξει, καὶ ἡδονὴν μείζονα ποιεῖ.

77. Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι χρεών.

78. Δίκαιος ἔρως ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν.

## Περὶ [illegible].

55. Δημοκρίτου. [illegible] σώματος ἄλγεσιν, ἢ [illegible] μεσίνου, ἢ ἄφρονι, ἢ [illegible].

57. Συνουσίη ἀποπληξίη σμικρή· ἐξέσσυται γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου.

## Περὶ ἀνδρείας.

82. Δημοκρίτου. Ἀνδρείη τὰς ἄτας μικρὰς ἔρδει.

86. Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρέσσων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων. Ἔνιοι δὲ πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν.

365

## Δημόκριτος.

29. Δίκης κῦδος, γνώμης θάρσος καὶ ἀθαμβίη· ἀδικίης δὲ δεῖ-
μα, ξυμφορῆς τέρμα.
30. Σοφίη ἄθαμβος ἀξίη πάντων τιμιωτάτη ἐοῦσα.

### Περί δικαιοσύνης.

31. Δημοκρίτου. Ἀγαθὸν, οὐ τὸ μὴ ἀδικέειν, ἀλλὰ τὸ μηδὲ ἐθέλειν.
32. Μοῦνοι θεοφιλέες, ὅσοις ἐχθρὸν τὸ ἀδικέειν.

### Περί ἀδικίας.

37. Δημοκρίτου. Πλοῦτος ἀπὸ κακῆς ἐργασίης προσγινόμενος ἐ-
πιφανέστερον τὸ ὄνειδος κέκτηται.
43. Χρυσοῦ τὸν οἰόμενον νοῦν ἔχειν ὁ νουθετέων, τί ματαιοπονέει.
44. Χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πο-
λὺ χαλεπωτέρη· μέζονες γὰρ ὀρέξιες μέζονας ἐνδείας ποι-
εῦσι.
45. Κακὰ κέρδεα ζημίην ἀρετῆς φέρει.
58. Ἐλπὶς κακοῦ κέρδεος ἀρχὴ ζημίης.
65. Ἡ τέκνοις ἄγαν χρημάτων συναγωγή, πρόφασίς ἐστι φι-
λαργυρίης τρόπον ἴδιον ἐλέγχουσα.
66. Ὧν τὸ σκῆνος χρήιζει, πᾶσι πάρεστιν εὐμαρέως ἄτερ μόχ-
θου καὶ ταλαιπωρίης· ὁκόσα δὲ μόχθου καὶ ταλαιπωρίης χρήιζει
καὶ βίον ἀλγύνει, τούτων οὐχ ἱμείρεται τὸ σκῆνος, ἀλλ' ἡ τῆς

Δημόκριτος.

γνώμης κατακόρην.
69. Τοῦ φρονέοντος ἀνθρώπου τὸ παρεὸν ἀνέχεσθαι, τὴν [illegible] κοινὴν ὄψιν γεγραμμένην.

## Περὶ ψεύδους.

13. Δημοκρίτου. Ἀληθομυθέειν χρεών, ὅσον λῷον.

## Περὶ παρρησίας.

26. Δημοκρίτου. Κρέσσον τὰ οἰκήια ἁμαρτήματα ἐλέγχειν, ἢ τὰ ὀθνεῖα.
4. Οἰκήιον ἐλευθερίης, παρρησίη· κίνδυνος δὲ, ἡ τοῦ καιροῦ διάγνωσις.

## Περὶ κολακείας.

8. Εὐλογέειν ἐπὶ καλοῖς ἔργοισι, καλόν· τὸ γὰρ ἐπὶ φαύλοισι, κίβδηλον, ἀπατεῶνος ἔργον.

## Περὶ φιλαργυρίας.

16. Δημοκρίτου. Οἱ φειδωλοὶ τὸν τῶν μελισσέων οἶτον ἔχουσιν, ἐργαζόμενοι ὡς ἀεὶ βιωσόμενοι.
17. Οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γινόμενοι, ὥσπερ οἱ ὀρχησταὶ, οἱ ἐς τὰς μαχαίρας ῥιπτέοντες, ἢν ἑνὸς μόνου μὴ τύχωσι, καταφερόμενοι ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται· χα-

H
367

# Δημόκριτος

## Περὶ φειδωλίας

Χαλεπὸν δὲ τυχεῖν ἑνός· τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν ποδῶν· οὕτω δὲ καὶ οὗτοι, ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τύπου ἐπιμελέος καὶ φειδωλοῦ, φιλέουσι διαφθείρεσθαι.

18. Φειδωλίη καὶ λιμὸς χρηστή, ἐν καιρῷ δὲ ἡ δαπάνη· γινώσκειν δὲ ἀγαθοῦ.

21. Βίος ἀνεόρταστος, μακρὴ ὁδὸς ἀπανδόκευτος.

## Περὶ ἐγκρατείας.

26. Δημοκρίτου. Εὐγνώμων, ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.

38. Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα, μάλιστα τέρπει.

39. Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίγνοιτο.

40. Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων.

## Περὶ ἀκρασίας.

31. Δημοκρίτου. Ὑγιείην εὐχῇσι παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν ἐν ἑωυτοῖς ἔχοντες οὐκ ἴσασιν· ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες, αὐτοὶ προδόται τῆς ὑγιείης τῇ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

368

Δημόκριτος.

Περὶ ἀκρασίας.

σιν ἐπιθυμίῃσι γίγνονται.
36. Ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται, ὑπερβεβληκότες τὸν καιρὸν, ἐπὶ βρώσεσιν ἢ πόσεσιν ἢ ἀφροδισίοις, ἐν τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι πολλαί. Τοῦτο μὲν γὰρ τὸ ἐπιθυμεῖν ἀεὶ τῶν αὐτῶν πάρεστι, καὶ ὁκόταν ἂν γένηται, ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν ἐν αὐτοῖσι χρηστόν ἐστιν ἀλλ' ἢ τέρψις βραχεῖα, καὶ αὖθις τῶν αὐτῶν δεῖ.

Περὶ ὀργῆς.

50. Δημοκρίτου. Θυμῷ μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου.
52. Φιλονεικίη πᾶσα ἀνόητος· τὰ γὰρ κατὰ τοῦ δυσμενέος ἀτενέα θεωρεῦσα, τὸ ἴδιον συμφέρον οὐ βλέπει.

Περὶ [illegible].

42. Δημοκρίτου. Τελευτᾷ γὰρ εἰς κακοδοξίην καὶ ὁ καρτεριζόμενος τῷ κρέσσονι.

# Δημόκριτος.

## Περί εὐπορίας.

9. Δημοκρίτου. Ὅμοιοι οἷς ποιέονται ἐν ἀκρήμασιν ἰόντες, οὐ τηρέοντες οἱ γραφέοντες, ἐσὴν διαφέρωσιν.

## Περὶ φιλοπονίας.

63. Δημοκρίτου. Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι.
64. Πόνος συνεχὴς ἐλαφρότερος ἑαυτοῦ τῇ συνηθείῃ γίνεται.
66. Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος.
67. Τὸ αἰεὶ μέλλειν, ἀτελέας ποιεῖ τὰς πρήξιας.
88. Τῆς ἡσυχίης ἁπάσης οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν, ἢ εἰδῶσι κύρσοντες. Ἐν δὲ ἅπασι τῇ ἀποτεύξει, τὸ πᾶν ὁμοίως ἀνιηρὸν ἢ ταλαίπωρον.

## Περὶ αἰδοῦς.

7. Δημοκρίτου. Φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς, μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

## Περὶ ἀδολεσχίας.

Δημοκρίτου.
24. Πλεονεξίη, τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

K
370

# Δημόκριτος.

## Περὶ χρηστότητος.

23. Δημοκρίτου. Ἀγαθὸν ἢ εἶναι χρεών, ἢ μιμέεσθαι.
26. Οἷσι ὁ τρόπος ἐστὶν εὔτακτος, τουτέοισι καὶ ὁ βίος συντέτακται.

## Περὶ φθόνου.

46. Δημοκρίτου. Μεμψιμοιρίην φεύγειν ὁ ἀγαθὸς [illegible] γέρων.
47. Ὁ φθονέων ἑωυτὸν ὡς ἐχθρὸν λυπέει.
57. Οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο. Φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

## Περὶ ξένων.

6. Δημοκρίτου. Ξενιτείη βίου αὐτάρκειαν διδάσκει· μᾶζα γὰρ καὶ στιβὰς, λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.
7. Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

## Περὶ πολιτείας.

33. Δημοκρίτου. Ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δὲ ὅταν αὐτοὶ βούλωνται πάσχειν εὖ· τοῖσι γὰρ πειθο-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Δημοκρίτου.

## Περὶ πολιτείας.

μένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται.

39. Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσω-
μένοις ὁμοίη φθορή.

40. Ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα, καὶ ταῖς πόλεσι τοὺς πολέ-
μους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.

42. Ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλε-
ομένης εὐδαιμονίης τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευ-
θερίη δουλείης.

43. Τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅ-
κως ἄξεται εὖ, μήτε φιλονεικέοντα παρὰ τὸ ἐπιεικές, μήτε
ἰσχὺν ἑαυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ.
Πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ πάν-
τα, καὶ τούτου σωζομένου πάντα σώζεται, καὶ τούτου φθειρο-
μένου ξύμπαντα διαφθείρεται.

44. Τοῖς χρηστοῖσι οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν
ἄλλα πρήσσειν· τὰ γὰρ ἴδια κακῶς ἔχει.(*) Εἰ δὲ ἀμελέοι-
το τῶν δημοσίων, κακῶς ἀκούειν γίγνεται, κἢν μηδὲν μή-
τε κλέπτῃ, μήτε ἀδικῇ· ἐπεὶ καὶ ἀμελέοντι ἢ ἀδικέοντι κίν-
δυνος κακῶς ἀκούειν, καὶ δὴ καὶ παθεῖν τι. Ἀνάγκη δὲ ἁμαρτά-
νειν, συγγιγνώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.

45. Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμάς, ὁκόσῳ ἂν μᾶλλον ἀνάξι-
οι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίγνονται, καὶ ἀφ-

835



M

372

ῥαθύμως καὶ ἀφρόνως πραγματεύεται.

46. Ὅθεν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτελεῖν τολμῶσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτείρειν ἔνεστι, καὶ μὴ ἐρήμους εἶναι, καὶ τὸ ἑταίρους γίγνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι, καὶ τοὺς πολίτας ὁμονόους εἶναι, καὶ ἄλλα ἀγαθὰ ὅσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.

## Περὶ νόμων καὶ ἠθῶν

14. Δημοκρίτου. Κρεῖσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν ἢ ἄρχειν.

15. Δίκη μὲν ἔρδειν τὰ χρὴ ἐόντα· ἀδικίη δὲ μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παρατρέπεσθαι.

16. Κατὰ δὲ ζώων ἔστιν ὧν φόνου καὶ μὴ φόνου, ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν ἀθῷος ὁ κτείνων, καὶ πρὸς εὐεστὼ τοῦτο ἔρδειν μᾶλλον, ἢ μή.

17. (*) Κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός· καὶ ταῦτα ὁ ποιῶν εὐθυμίης καὶ δίκης καὶ θάρσεος καὶ κτήσιος ἐν παντὶ κόσμῳ μείζω μοῖραν μεθέξει.

18. Ὅκωσπερ περὶ κινάδων τε καὶ ἑρπετῶν γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὸν εἶναι ποιεῖν· κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει· νόμος δὲ ἀπείργει, ἱερὰ ἑκάστοισιν ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅρκοι.

373

# Δημόκριτος

19. Κεκράγγειν ἢ χρεῖν πάντα κλεινὸν τοῖς ἀνθρώποις ἀναιδέα, ἢ αὐτοχειρίῃ ἢ κερδοῖν ἢ φηρσί.

## Περὶ τῶν ἐν ταῖς πόλεσι δυνατῶν

27. Δημοκρίτου. Χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος.

## Περὶ ἀρχῆς

43. Δημοκρίτου. Ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν χρὴ καὶ μὴ παριέναι. Τὸ μὲν γὰρ τοιοῦτον δίκαιον καὶ ἀγαθόν, τὸ δὲ μὴ τοιοῦτον ἄδικον καὶ κακόν.

44. Καὶ οἱ φυγῆς ἄξια ἔρδοντες ἢ δεσμῶν ἢ θωιῆς ἄξιοι, καταψηφιστέον καὶ μὴ ἀπολύειν· ὃς δ' ἂν παρὰ νοῦν ἀπολύει κέρδει ὁρίζων ἢ ἡδονῇ ἀδικεῖ, καί οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι.

45. Δίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν ὁ τιμὰς ἀξίας τέμνων.

46. Μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ· μηδέ τι μᾶλλον ἐξεργάζεσθαι κακόν, εἰ μέλλει μηδεὶς εἰδήσειν ἢ οἱ πάντες ἄνθρωποι· ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον.

47. Τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν εὖ πεπραγμένων. Καὶ γὰρ δίκαιον οὕτως, ὥσπερ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδι-

Ζ 833
374

ἀμελεῦντα κακῶς ἀκούειν ἢ πάσχειν, οὔτε γε τὸν ἄρχοντα. Οὐ γὰρ ἐπὶ τούτῳ ᾑρέθη ὡς κακῶς πρήξειν, ἀλλ' ὡς εὖ.

48. Οὐδεμία μηχανὴ τῷ νῦν καθεστῶτι ῥυθμῷ μὴ οὐκ ἀδικεῖν τοὺς ἄρχοντας, ἢν πάνυ ἀγαθοὶ ἔωσιν. Οὐδενὶ γὰρ ἄλλῳ ἔοικεν ἢ ἑωυτῷ τὸν αὐτὸν ἐφ' (*) ἑτέροισι γίγνεσθαι· δεῖ δέ κως οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν πάνυ ἐτάζῃ τοὺς ἀδικέοντας, μὴ ὑπ' ἐκείνους γενέσθαι, ἀλλά τις ἢ θεσμὸς ἢ τι ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια ποιεῦντι.

Ὅτι κάλλιστον ἡ μοναρχία.

19. Δημοκρίτου. Φύσει τὸ ἄρχειν οἰκήιον τῷ κρέσσονι.

Ὑποθῆκαι περὶ βασιλείας

18. Δημοκρίτου.
Φόβος κολακείην μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐκ ἔχει.

Περὶ τόλμης.

16. Δημοκρίτου. Τόλμα πρήξιος ἀρχή, τύχη δὲ τέλεος κυρίη.

Περὶ δεσποτῶν καὶ δούλων

Δημοκρίτου.
45. Οἰκέτῃσιν ὡς μέρεσι τοῦ σκήνεος χρῶ, ἄλλῳ πρὸς ἄλλο.

Δημόκριτος

Δημόκριτος

## Περὶ Ἀφροδίτης πανδήμου.

33. Δημοκρίτου. Ἐρωτικὴν μέμψιν ἡ ἐπερχομένη λύει.

## Περὶ Μνηστείας.

60. Δημοκρίτου. Δημόκριτος ἔφη, ὡς ὁ γαμβροῦ μὲν εὐτυχῶν εὗρεν υἱόν· ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

## Ψόγος γυναικῶν.

62. Δημοκρίτου. Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.

## Γαμικὰ παραγγέλματα.

38. Δημοκρίτου. Κόσμος ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κόσμου λιτότης.
39. Ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἀνδρὶ ἐσχάτη.

## Ὅτι κάκιον τὸ ἔχειν παῖδας.

13. Δημοκρίτου. Τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηνται, τὴν δὲ ἀποτυχίην ἀνυπέρθετον ἑτέρην ὀδύνην.
15. Οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γὰρ ἐν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

851
Γ6
376

## Δημόκριτος.

παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.

16. Ὅτεῳ χρήματά ἐστι, παῖδα ποιήσασθαι ἐκ τῶν φίλων ἐμοὶ δοκεῖ ἄμεινον εἶναι· καὶ τῷ μὲν παῖς ἔσται τοιοῦτος οἷον ἂν βούληται· ἔστι γὰρ ἐκλέξασθαι οἷον ἐθέλει· καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, καὶ μάλιστα κατὰ φύσιν ἕποιτο. Καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μέν ἐστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν ὃν ἂν δέῃ· ἢν δέ τις ποιῆται ἀπὸ ἑαυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γὰρ ὃς ἂν γένηται, τούτῳ χρῆσθαι.

17. Ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι, παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης. Δῆλον δὲ καὶ τοῖς ἄλλοις ζώοισι. Πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα· ἀλλ' ὅταν γένηται, ταλαιπωρεῖ καὶ τρέφει ἕκαστον ὡς δύναται, καὶ ὑπερδέδοικε μέχρι σμικρὰ ᾖ, καὶ ἤν τι πάθῃ ἀνιᾶται. Ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν ὅσα ψυχὴν ἔχει· τὸ δὲ δὴ ἀνθρώπινον νομίζον ἤδη πεποίηται, ὥστε καὶ ἐπαύρεσίν τινα γίγνεσθαι ἀπὸ τοῦ ἐκγόνου.

## Περὶ γραμμάτων.

11. Δημοκρίτου. Ἐλλογίμου ἐς παιδὸς γέρας γέγραπται.

377

# Δημόκριτος

## Περὶ εὐγενείας.

18. Δημοκρίτου. Κτηνέων μὲν εὐγένεια ἡ τοῦ σώματος εὐσθένεια, ἀνθρώπων δὲ ἡ τοῦ ἤθεος εὐτροπίη.

## Ὁποίους τινὰς χρὴ εἶναι τοὺς πατέρας περὶ τὰ τέκνα

25. Δημοκρίτου. Τοῖς παισὶ μάλιστα χρὴ τῶν ἐπιτηδείων διαδᾶσθαι τὰ χρήματα καὶ ἅμα ἐπιμελεῖσθαι αὐτῶν, μή τι ἄτοπον τι ἔσω διὰ χειρὸς ἔχοντες. Ἅμα γὰρ πολλῷ φειδωλότεροι γίγνονται ἐς τὰ χρήματα καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν. Ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα οὐκ ἀνιᾷ, ὥσπερ ἰδίῃ, οὐδ' εὐφραίνει τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧσσον.

26. Ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας καὶ τεῖχος καὶ σωτηρίαν περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.

## Ὅσα ψόγος ποιεῖ διὰ τὴν τῶν χρημάτων ἄνοιαν.

14. Δημοκρίτου. Ὥσπερ ἐν μὲν τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρήμασι τὸ μὴ προσαρμόζον καὶ τὸ συνεχές.

15. Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος σῶμα, οὕτως ἐν τοῖς τὸ ὄνειδος πέπτωκεν.

## Δημόκριτος.

## Πενίας ἔπαινος.

24. Δημοκρίτου. Χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή.

25. Χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον.

## Σύγκρισις πενίας καὶ πλούτου.

23. Δημοκρίτου. Πενίη, πλοῦτος, ὀνόματα ἐνδείης καὶ κόρου. Οὔτε οὖν πλούσιος ὁ ἐνδέων, οὔτε πένης ὁ μὴ ἐνδέων.

24. Ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει.

25. Σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτῳ ποιέει.

## Περὶ τοῦ βίου, ὅτι βραχὺς καὶ εὐτελὴς καὶ φροντίδων ἀνάμεστος.

58. Δημοκρίτου. (*) Διζημένοισι τἀγαθὰ μόγις παραγίνεται, τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι.

61. Ἅπαντες ἄνθρωποι συνειδήσει τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθέοντες φόβου.

6[illegible]. Γινώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον πολλῇσί τε κηρσὶ συμπεφυ-

837
Γ
379

# Δημόκριτος.

μένη ἢ ἀμηχανίῃσιν, ὅκως ἂν ὅρος μετρίῃς δὲ κτήσιος ἐ-
στερημέναι ἢ μετρίης ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη

## Περὶ εὐδαιμονίας ρβ΄.

17. Δημοκρίτου. Εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος.

26. Τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ' ἂν πράσσῃ ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ πλέον ὑπηγεομένης τῷ δοκεῖν κατατίθεσθαι καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν· ἡ γὰρ εὐογκίη ἀσφαλέστερον τῆς μεγαλογκίης.

## Περὶ κακοδαιμονίας ρδ΄.

30. Δημοκρίτου. Ἀφραίη ζωὴ τῆς ἐπαίδου γεγυμνωμένη· οὐ γὰρ ὑπηρέτεον ζωῆς ἐπικουρίης.

31. Νόσος οἴκου καὶ βίου γίγνεται, ὅκωσπερ καὶ σκήνεος.

## Ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία. ρε΄

59. Δημοκρίτου. Οὐκ ἔξεστιν ἄλλως ἀσφαλέως μεγάλην φυλάσσειν ἢ σὺν ἀνοίῃ τύχης καιρός.

380

## Δημόκριτος.

### Ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα ὄντας ἀνθρώπους ἢ καὶ ἀρετὴν μὲν ὀρεγομένους. ρή.

64. Δημοκρίτου. Ἀφροσύνη μὴ ξυγχωρέειν τοῖσι κατὰ τὸν βίον ἀνάγκαις.

67. Λύπην ἀδέσποτον ψυχῆς ναρκώδεα λογισμῷ ἔκκρουε.

68. Μέγα τὸ ἐν συμφορῇσι φρονεῖν ἃ δεῖ.

69. Μεγαλοψυχίη τὸ φέρειν πρᾳέως πλημμέλειαν.

70. Πενίην εὐπετέως φέρειν σωφρονέοντος.

### Περὶ ἐλπίδος. ρί.

18. Δημοκρίτου. Αἱ ἐλπίδες αἱ τῶν ὀρθὰ φρονεόντων ἐφικταί, αἱ δὲ τῶν ἀξυνέτων ἀδύνατοι.

19. Ἄλογοι τῶν ἀξυνέτων αἱ ἐλπίδες.

### Ὅτι χρὴ συγχαίρειν τοῖς ἀλγοῦσι. ριβ.

10. Δημοκρίτου. Ὅταν ἡδονὴν ἔχωσιν αἱ τῶν πέλας ξυμφοραί, οἱ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.

### Ἔπαινος γήρας. ριέ.

19. Δημοκρίτου. Ἰσχὺς καὶ εὐμορφίη νεότητος ἀγαθά, γήραος δὲ σωφροσύνης ἄνθος.

859

381

# Δημόκριτος.

31. Ὁ γέρων νέος ἐγένετο, ὁ δὲ νέος ἄδηλον εἰ ἐς γῆρας ἀφίξεται. Τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος, ἔτι καὶ ἀδήλου, κρέσσον.

## Ψόγος γήρως. ριϛ'.

41. Δημοκρίτου. Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ.

45. Αὐξανομένου τοῦ σώματος συναύξονται φρένες, γηράσκοντος δὲ συγγηράσκουσι ἐς τὰ πρήγματα πάντα ἀμβλύνονται.

## Ἔπαινος θανάτου. ρκ'.

20. Δημοκρίτου. (*) Ἔνιοι θνητῆς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συνειδήσει δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης, τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνου.

278

# Δημόκριτος.

Δημοκρίτου Αποφθέγματα η γνώμαι συλλεγείσαι εκ της Ανθολογίας Ιωάννου Στοβαίου (εκδ. Τευβνέρου Λειψίας 1893).

## Περι αρετης.

39. Δημοκρίτου. Ανθρώποις αρμόδιον, ψυχης μάλλον η σώματος ποιέεσθαι λόγον. Ψυχη μεν γαρ τελεωτάτη σκήνεος μοχθηρίαν ορθοί σκήνεος δε ισχυς άνευ λογισμου ψυχην ουδεν τι αμείνω τίθησι.

40. Ανθρώποισι γάρ εὐθυμίη γίνεται μετριότητι τέρψιος, καὶ βίου συμμετρίῃ· τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ, καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῇ ψυχῇ. Αἱ δ' ἐκ μεγάλων διαστημάτων κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν, οὔτε εὔθυμοι. Ἐπὶ τοῖς δυνατοῖς οὖν δεῖ ἔχειν τὴν γνώμην, καὶ τοῖς παρεοῦσιν ἀρκέεσθαι· τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα, καὶ τῇ διανοίᾳ μὴ προσεδρεύοντα· τῶν δὲ ταλαιπωρεόντων τοὺς βίους θεωρέειν, ἐννοούμενον ἃ πάσχουσι κάρτα, ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μεγάλα καὶ ζηλωτὰ φαίνηται, καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψυχῇ. Ὁ γὰρ θαυμάζων τοὺς ἔχοντας καὶ μακαριζομένους ὑπὸ τῶν ἄλλων ἀνθρώπων, καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

B
270



ἀεὶ ἐπικαινουργεῖν ἀναγκάζεται, καὶ ἐπιβάλλεσθαι δι' ἐπιθυμίην τοῦ τι πρήσσειν ἀνήκεστον ὃ νόμοι κωλύουσιν. Διόπερ τὰ μὲν μὴ δίζεσθαι χρεών, ἐπὶ δὲ τοῖς εὐθυμέεσθαι χρεών παραβάλλοντα τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν φαυλότερον πρησσόντων, καὶ μακαρίζειν ἑωυτόν, ἐνθυμεύμενον ἃ πάσχουσιν, ὅπως αὐτέων βέλτιον πρήσσῃ τε καὶ διάγῃ. Ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε διάξεις, καὶ οὐκ ὀλίγας κῆρας ἐν τῷ βίῳ διώσεαι, φθόνον καὶ ζῆλον καὶ δυσμενίην.

## Περὶ κακίας.

37 Δημοκρίτου.

Ἔστι ῥᾴδιον μὲν ἐπαινεῖν, ἃ μὴ χρή, καὶ ψέγειν· ἑκάτερον δὲ πονηροῦ τινος ἤθους.

## Περὶ φρονήσεως.

34. Δημοκρίτου. Σοφίη ἄθαμβος ἀξίη πάντων, τιμιωτάτη οὖσα.

35. Ὅρος γὰρ συμφορέων καὶ ἀσυμφορέων τέρψις καὶ ἀτερπίη.

51. Φρονήσεως ἔργον μέλλουσαν ἀδικίην φυλάξασθαι· ἀναλγησίης δέ, τὸ γενόμενον μὴ ἀμύνασθαι.

57. Αἱ μεγάλαι τέρψεις ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται.

# Δημόκριτος.

## Περί ἀφροσύνης.

53. Δημοκρίτ. Ἀνθρώποισι κακά ἐξ ἀγαθῶν φύεται· ἐπήν τις τἀγαθά μή ἐπίστηται ποδηγεῖν, μηδέ ὀχεῖν εὐφόρως.
71. Εἴδωλα αἰσθητικεί καί κόσμῳ διαπρεπέα πρός θεωρίην, ἀλλά καρδίης κενεά.
72. Λήθη τῶν ἰδίων κακῶν θρασύτητα γεννᾷ.
73. Ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς τύχης κέρδεσιν· οἱ δέ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης.
74. Τό χρῆζον οἶδεν ὁκόσον χρήζει· ὁ δέ χρήζων, οὐ γινώσκει.
75. Ἀνοήμονες τό ζῆν ὡς στυγέοντες, ζῆν ἐθέλουσι δείματι ἀΐδεω.
76. Ἀνοήμονες βιοῦσιν, οὐ τερπόμενοι βιοτῇ.
77. Ἀνοήμονες νεότητος ὀρέγονται, οὐ τερπόμενοι δέ νεότητι.
78. Ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται· τά δέ παρεόντα καί παρῳχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν.
79. Ἄνθρωποι τόν θάνατον φεύγοντες διώκουσιν.
80. Ἀνοήμονες οὐδέν ἁνδάνουσιν ἐν ὅλῃ τῇ βιοτῇ.
81. Ἀνοήμονες θάνατον δεδοικότες, γηράσκειν ἐθέλουσι.
82. Δόξα καί πλοῦτος ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα.
83. Πολλοί πολυμαθέες νόον οὐκ ἔχουσι.

## Περί σωφροσύνης.

23. Δημοκρίτ. Νόμῳ καί ἄρχοντι καί σοφωτέρῳ εἴκειν κόσμιον.

281

## Δημόκριτος.

24. Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν, ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. Τοῦτο δ᾽ ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι τὰς ἡδονὰς ποιοῖτο.

25. Φαύλων ἔργων καὶ τοὺς λόγους παραιτητέον.

38. Τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.

44. Πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.

49. Σωφροσύνη τὰ τερπνὰ ἀέξει, καὶ ἡδονὴν ἔτι μείζονα ποιεῖ.

77. Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι χρεών.

78. Δίκαιος ἔρως, ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν.

### Περὶ ἀκολασίας.

55. Δημοκρίτου. Ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν, ἢ ψυχῆς ἀδημοσύνην, ἢ ἀργίην, ἢ ἀπαιδευσίην σημαίνουσιν.

57. Ξυνουσίη ἀποπληξίη σμικρή· ἐξέσσυται γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου.

### Περὶ ἀνδρείας.

22. Δημοκρίτου. Ἀνδρείη τὰς ἄτας μικρὰς ἔρδει.

26. Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων. Ἔνιοι δὲ πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν.

282

ε

32. Δίκης κῦδος, γνώμης θάρσος καὶ ἀθαμβίη· ἀδικίης δὲ δεῖμα, ξυμφορῆς τέρμα.
80. Σοφίη ἄθαμβος ἀξίη πάντων τιμιωτάτη οὖσα.

## Περὶ δικαιοσύνης.

31. Δημοκρίτου. Ἀγαθὸν, οὐ τὸ μὴ ἀδικέειν, ἀλλὰ τὸ μηδὲ ἐθέλειν.
32. Μοῦνοι θεοφιλέες, ὅσοις ἐχθρὸν τὸ ἀδικέειν.

## Περὶ ἀδικίας.

37. Δημοκρίτου. Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται.
43. Χρυσοῦ τὸν οἰόμενον νόον ἔχειν ὁ νουθετέων, τί ματαιοπονέει.
44. Χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη· μέζονες γὰρ ὀρέξιες μέζονας ἐνδείας ποιεῦσι.
45. Κακὰ κέρδεα ζημίην ἀρετῆς φέρει.
58. Ἐλπὶς κακοῦ κέρδεος ἀρχὴ ζημίης.
65. Ἡ τέκνοις ἄγαν χρημάτων συναγωγὴ, πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐλέγχουσα.
66. Ὧν τὸ σκῆνος χρῄζει, πᾶσι πάρεστιν εὐμαρέως ἄτερ μόχθου καὶ ταλαιπωρίης· ὁκόσα δὲ μόχθου καὶ ταλαιπωρίης χρῄζει καὶ βίον ἀλγύνει, τούτων οὐκ ἱμείρεται τὸ σκῆνος, ἀλλ' ἡ τῆς

Z
283

# Δημόκριτος.

γνώμης κακοσθίη.
69. Τοῦ πλέονος ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι, τῇ Αἰσωπίῃ κυνὶ ἰκέλη γιγνομένη.

## Περὶ ψεύδους.

13. Δημοκρίτου. Ἀληθομυθέειν χρεών, ὅπου λῷον.

## Περὶ παρρησίας.

26. Δημοκρίτου. Κρέσσον τὰ οἰκήϊα ἁμαρτήματα ἐλέγχειν, ἢ τὰ ὀθνεῖα.
40. Οἰκήϊον ἐλευθερίης παρρησίη· κίνδυνος δὲ, ἡ τοῦ καιροῦ διάγνωσις.

## Περὶ κολακείας.

8. Εὐλογέειν ἐπὶ καλοῖς ἔργμασι, καλόν· τὸ γὰρ ἐπὶ φλαύροισι, κίβδηλον, καὶ ἀπατεῶνος ἔργον.

## Περὶ φειδωλίας.

16. Δημοκρίτου. Οἱ φειδωλοὶ τὸν τῆς μελίσσης οἶτον ἔχουσιν, ἐργαζόμενοι ὡς ἀεὶ βιωσόμενοι.
17. Οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γινόμενοι, ὥσπερ οἱ ὀρχησταὶ, οἱ ἐς τὰς μαχαίρας ὀρούοντες, ἢν ἑνὸς μόνου μὴ τύχωσι, καταφερόμενοι ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται· χα-

H

284

# Δημόκριτος.

## Περὶ φειδωλίας

Κτέσον δε θυχην ενος, το γαρ ἴχνιον μηνον λελειπται των ποδων· ουτω δε η ουτοι, ην ἁμάρτωσι του πατρικου τυπου του επιμελέος και φειδωλου, φιλέουσι διαφθείρεσθαι.

18. Φειδώ τοι καὶ λιμός, χρηστή, ἐν καιρῷ δὲ καὶ δαπάνη· γινώσκειν δὲ ἀγαθοῦ.

21. Βίος ἀνεόρταστος, μακρὴ ὁδὸς ἀπανδόκευτος

## Περὶ ἐγκρατείας.

26. Δημοκρίτου. Εὐγνώμων, ὁ μὴ λυπεόμενος ἐφ᾽ οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ᾽ οἷσιν ἔχει.

38. Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα, μάλιστα τέρπει.

39. Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίγνοιτο.

40. Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων.

## Περὶ ἀκρασίας.

31. Δημοκρίτου. Ὑγιείην εὐχαῖς παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν παρ᾽ ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν· ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες, αὐτοὶ προδόται τῆς ὑγιείης τῇ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

9
285

# Δημόκριτος.

## Περὶ ἀκρασίας.

σιν ἐπιθυμίῃσι γίγνονται.
36. Ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται, ὑπερβεβληκότες τὸν καιρόν, ἐπὶ βρώσεσιν ἢ πόσεσιν ἢ ἀφροδισίοις, τούτοισι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσι ἢ πίνωσι, αἱ δὲ λῦπαι πολλαί. Τοῦτο μὲν γὰρ τὸ ἐπιθυμεῖν ἀεὶ τῶν αὐτῶν πάρεστι, καὶ ὁκότ' ἂν γένηται, ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν ἐν αὐτοῖσι χρηστόν ἐστιν, ἀλλ' ἢ τέρψις βραχεῖα, καὶ αὖθις τῶν αὐτῶν δεῖ.

## Περὶ ὀργῆς.

56. Δημοκρίτου. Θυμῷ μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου.
62. Φιλονεικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενοῦς βλαβερὸν θεωρεῦσα, τὸ ἴδιον συμφέρον οὐ βλέπει.

## Περὶ ὑπεροψίας.

42. Δημοκρίτου. Τελευτᾷ γὰρ εἰς κακοδοξίην κακὴν ὁ παρεκτεινόμενος τῷ κρείσσονι.

286

# Δημόκριτος.

## Περὶ εὐορκίας.

9. Δημοκρίτου. Ὅρκους οὓς ποιέονται ἐν ἀνάγκαισιν ἐόντες, οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.

## Περὶ φιλοπονίας.

63. Δημοκρίτου. Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι.
64. Πόνος συνεχὴς ἐλαφρότερος ἑωυτοῦ τῇ συνηθείῃ γίνεται.
66. Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίγνονται, ἢ ἀπὸ φύσιος.
67. Τὸ αἰεὶ μέλλειν, ἀτελέας ποιεῖ τὰς πρήξιας.
88. Τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν, ἢ εἰδῶσι κύρσοντες. Ἐν δὲ ἄπος τῇ ἀποτυχίῃ, τὸ πᾶν ὁμοίως ἀνιηρὸν ἢ ταλαίπωρον.

## Περὶ αἰδοῦς.

7. Δημοκρίτου. Φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς, μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

## Περὶ ἀδολεσχίας.

Δημοκρίτου.
24. Πλεονεξίη, τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Κ.
287

# Δημόκριτος.

## Περὶ χρηστότητος.

23. Δημοκρίτου. Ἀγαθὸν ἢ εἶναι χρεών, ἢ μιμέεσθαι.
26. Οἷσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τουτέοισι καὶ βίος συντέτακται.

## Περὶ φθόνου.

46. Δημοκρίτου. Μωμεομένων φλαύρων ὁ ἀγαθὸς οὐ ποιέεται λόγον.
47. Ὁ φθονέων ἑαυτὸν ὡς ἐχθρὸν λυπέει.
57. Οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο. Φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Περὶ ξένης.

6. Δημοκρίτου. Ξενιτείη βίου αὐτάρκειαν διδάσκει· μᾶζα γὰρ καὶ στιβὰς λιμῷ καὶ κόπῳ γλυκύτατα ἰάματα.
7. Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

## Περὶ πολιτείας.

33. Δημοκρίτου. Ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δὲ ὅταν αὐτοὶ βούλωνται πάσχειν· τοῖσι γὰρ πειθο-

# Δημόκριτος.

## Περὶ πολιτείας.

μένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυνται.

34. Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορή.

40. Ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα, καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ᾽ οὔ.

42. Ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.

43. Τὰ κατὰ τὴν πόλιν χρεῶν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως ἄξεται εὖ, μήτε φιλονεικέοντα παρὰ τὸ ἐπιεικές, μήτε ἰσχὺν ἑαυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ. Πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σωζομένου πάντα σώζεται, καὶ τούτου φθειρομένου τὰ πάντα διαφθείρεται.

44. Τοῖς χρηστοῖσιν οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα πρήσσειν· τὰ γὰρ ἴδια κακῶς ἔχει. (*) Εἰ δὲ ἀμελέοιτο τῶν δημοσίων, κακῶς ἀκούειν γίγνεται, καὶ ἢν μηδὲν μήτε κλέπτῃ, μήτε ἀδικῇ· ἐπεὶ καὶ ἀμελέοντι ἢ ἀδικέοντι κίνδυνος κακῶς ἀκούειν, καὶ δὴ καὶ παθεῖν τι. Ἀνάγκη δὲ ἁμαρτάνειν, συγγινώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.

45. Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμάς, ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀκηδέες γίγνονται, καὶ ἀφ-

289



ροσύνης καὶ θράσεος σύμφαντοι.

46. Ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργέειν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτείρειν ἔνεστι, καὶ μὴ ἐρήμους εἶναι, καὶ τὸ ἑταίρους γίγνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι, καὶ τοὺς πολιήτας ὁμονόους εἶναι, καὶ ἄλλα ἀγαθὰ ὅσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.

## Περὶ νόμων καὶ ἐθῶν

14. Δημοκρίτου. Κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν ἢ ἄρχειν.

15. Δίκη μέν ἐστιν, ἔρδειν τὰ χρὴ ἐόντα· ἀδικίη δέ, μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παρατρέπεσθαι.

16. Κατὰ δὲ ζώων ἔστιν ὧν φόνου καὶ μὴ φόνου, ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν ἀθῷος ὁ κτείνων, καὶ πρὸς εὐεστὼ τοῦτο ἔρδειν μᾶλλον, ἢ μή.

17. (*) Κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός· καὶ ταῦτα ὁ ποιῶν εὐθυμίης καὶ δίκης καὶ θάρσεος καὶ κτήσεως ἐν παντὶ κόσμῳ μείζω μοῖραν μεθέξει.

18. Ὅκωσπερ περὶ κινάδων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὸν εἶναι ποιεῖν· κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει· νόμος δὲ ἀπείργει, ἱερὰ ἑκάστοισιν ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅρκοι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

290

19. Κυζάγγην καὶ φρονεῖν πάντα κτείνων τις ἀληθῶς ἂν εἴη,
καὶ αὐτοχειρίῃ καὶ νεκρῶν καὶ γήρᾳ.

## Περὶ τῶν ἐν ταῖς πόλεσι δυνατῶν

27. Δημοκρίτου. Χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος.

## Περὶ ἀρχῆς

43. Δημοκρίτου. Ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν χρὴ
καὶ μὴ παριέναι. Τὸ μὲν γὰρ τοιοῦτον δίκαιον καὶ ἀγαθόν,
τὸ δὲ μὴ τοιοῦτον ἄδικον καὶ κακόν.
44. Καὶ οἱ φυγῆς ἄξια ἔρδουσιν ἢ δεσμῶν ἢ θοίνης ἄξιοι, κατα-
ψηφιστέον καὶ μὴ ἀπολύειν· ὃς δ' ἂν παρὰ νοῦν ἀπολύει κέρ-
δει ὁρίζων ἢ ἡδονῇ ἀδικεῖ, καί οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι.
45. Δίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν ὁ τιμὰς ἀξίας τέμνων.
46. Μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑαυτοῦ· μη-
δέ τι μᾶλλον ἐξεργάζεσθαι κακόν, εἰ μέλλει μηδεὶς εἰδή-
σειν ἢ εἰ οἱ πάντες ἄνθρωποι· ἀλλ' ἑαυτὸν μάλιστα αἰδεῖσθαι,
καὶ τοῦτον νόμον τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν ποιεῖν
ἀνεπιτήδειον.
47. Τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν
εὖ πεποιημένων. Καὶ γὰρ δίκαιον οὕτως, ὥσπερ τὰς παρακα-
ταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδι-

Ξ
291



Ἀδικέοντα κακῶς ἀκούειν καὶ πάσχειν, οὕτω καὶ τὸν ἄρχοντα. Οὐ γὰρ ἐπὶ τούτῳ ᾑρέθη ὡς κακῶς ποιήσων, ἀλλ' ὡς εὖ.

48. Οὐδεμία μηχανὴ τῷ νῦν καθεστῶτι ῥυθμῷ μὴ οὐκ ἀδικεῖν τοὺς ἄρχοντας, ἢν καὶ πάνυ ἀγαθοὶ ἔωσιν. Οὐδενὶ γὰρ ἄλλῳ ἔοικεν ἢ ἑωυτῷ τὸν αὐτὸν ἐφ' (*) ἑτέροισι γίγνεσθαι· δεῖ δέ κως οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν καὶ πάνυ ἐτάζῃ τοὺς ἀδικέοντας, μὴ ὑπὸ ἐκείνους γενέσθαι, ἀλλά τις ἢ θεσμὸς ἢ τι ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια ποιεῦντι.

## Ὅτι κάλλιστον ἡ μοναρχία.

19. Δημοκρίτου. Φύσει τὸ ἄρχειν οἰκήιον τῷ κρέσσονι.

## Ὑποθῆκαι περὶ βασιλείας

13. Δημοκρίτου.
Φόβος κολακείην μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐκ ἔχει.

## Περὶ τόλμης.

16. Δημοκρίτου. Τόλμα πρήξιος ἀρχή, τύχη δὲ τέλεος κυρίη.

## Περὶ δεσποτῶν καὶ δούλων

Δημοκρίτου.
45. Οἰκέτῃσι ὡς μέρεσι τοῦ σκήνεος χρῶ, ἄλλῳ πρὸς ἄλλο.

Δημόκριτος.

# Δημόκριτος.

292

## Περί Ἀφροδίτης πανδήμου.

33. Δημοκρίτου. Ἐρωτικήν μέμψιν ἡ ἀγαπωμένη λύει.

## Περί Μητρυιάς.

68. Δημοκρίτου. Δημόκριτος ἔφη, ὡς ὁ γαμβροῦ μέν ἐπιτυχών εὗρεν υἱόν· ὁ δέ ἀποτυχών ἀπώλεσε ϗ θυγατέρα.

## Ψόγος γυναικών.

62. Δημοκρίτου. Γυνή πολλά ἀνδρός ὀξυτέρη πρός κακοφραδμοσύνην.

## Γαμικά παραγγέλματα.

38. Δημοκρίτου. Κόσμος ὀλιγομυθίη γυναικί· καλόν δέ ϗ κόσμου λιτότης.
39. Ὑπό γυναικός ἄρχεσθαι ὕβρις ἀνδρί ἐσχάτη.

(Ὅτι κακόν τό ἔχειν παῖδας.)
Ὅτι ασύμφορον το έχειν τέκνα.

13. Δημοκρίτου. Τεκνοτροφίη σφαλερόν· τήν μέν γάρ ἐπιτυχίην ἀγῶνος μεστήν ϗ φροντίδος κέκτηται, τήν δέ ἀποτυχίην ἀνυπέρθετον ἑτέρην ὀδύνην.
15. Οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γάρ ἐν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.

16. Ὅτεῳ χρήματά ἐστι, παῖδα ποιήσασθαι ἐκ τῶν φίλων ἐμοὶ δοκεῖ ἄμεινον εἶναι· καὶ τῷ μὲν παῖς ἔσται τοιοῦτος οἷον ἂν βούληται· ἔστι γὰρ ἐκλέξασθαι οἷον ἐθέλει καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, καὶ μάλιστα κατὰ φύσιν ἕποιτο. Καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μέν ἐστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν ὧν ἂν δέῃ· ἢν δέ τις ποιῆται ἀπὸ ἑαυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γὰρ ὃς ἂν γένηται, τούτῳ χρῆσθαι.

17. Ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι, παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης. Δῆλον δὲ καὶ τοῖς ἄλλοις ζώοισι. Πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιῆς εἵνεκα· ἀλλ᾽ ὅταν γένηται, ταλαιπωρεῖ καὶ τρέφει ἕκαστον ὡς δύναται, καὶ ὑπερδέδοικε μέχρι σμικρὰ ᾖ, καὶ ἤν τι πάθῃ ἀνιᾶται. Ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν ὅσα ψυχὴν ἔχει· τῷ δὲ δὴ ἀνθρώπῳ νομίζον ἤδη πεποίηται, ὥστε καὶ ἐπαυρέσθαι τινα γίνεσθαι ἀπὸ τοῦ ἐκγόνου.

## Περὶ γραμμάτων.

11. Δημοκρίτου. Ξυρὸν εἰς παιδῶν λόγος γίγνεται.

294

# Δημόκριτος

## Περὶ εὐγενείας.

18. Δημοκρίτου. Κτηνέων μὲν εὐγένεια ἡ τοῦ σώματος εὐσθένεια, ἀνθρώπων δὲ ἡ τοῦ ἤθεος εὐτροπίη.

## Ὁποίους τινὰς χρὴ εἶναι τοὺς πατέρας περὶ τὰ τέκνα

25. Δημοκρίτου. Τοῖς παισὶ μάλιστα χρὴ τῶν ἄλλων δατεῖσθαι τὰ χρήματα καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἄτοπον τι ἔωσι διὰ χειρὸς ἔχοντες. Ἅμα μὲν γὰρ πολλῷ φειδωλότεροι γίγνονται ἐς τὰ χρήματα καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν. Ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα οὐκ ἀνιᾷ, ὥσπερ ἰδίῃ· οὐδ᾽ εὐφραίνει τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧσσον.

26. Ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.

## Ὅσα πλοῦτος ποιεῖ διὰ τὴν τῶν χρωμένων ἄνοιαν.

14. Δημοκρίτου. Ὥσπερ ἐν μὲν τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρήμασι τὸ μὴ προσαρμόζον καὶ τὸ συνεχές.

15. Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος σῆμα, οὕτως ἐν τοῖς τὸ ὄνειδος κέκτηται.

## Δημόκριτος.

### Πενίας ἔπαινος.

24. Δημοκρίτου. Χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή.
25. Χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον.

### Σύγκρισις πενίας καὶ πλούτου.

23. Δημοκρίτου. Πενίη, πλοῦτος, ὀνόματα ἐνδείης καὶ κόρου. Οὔτε οὖν πλούσιος ἐνδέων, οὔτε πένης ὁ μὴ ἐνδέων.
24. Ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει.
25. Σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτῳ ποιέει.

### Περὶ τοῦ βίου, ὅτι βραχὺς καὶ εὐτελὴς καὶ φροντίδων ἀνάμεστος.

58. Δημοκρίτου. (*) Διζημένοισι τἀγαθὰ μόγις παραγίγνεται, τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι.
61. Ἄπαντες ἄνθρωποι συνειδήσει τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθέοντες φόβον.
65. Γιγνώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον πολλῇσί τε κηρσὶ συμπεφυρ-

# Δημόκριτος.

μένων καὶ ἀμηχανίῃσιν, ὅκως ἂν πρὸς μετρίοις τε ἡδέως ἐ-
πιτηδεύηται καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη.

## Περὶ εὐδαιμονίας. ργ́.

17. Δημοκρίτου. Εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος, δυ-
στυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος.

25. Τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πράσσειν μήτε
ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ᾽ ἂν πράσσῃ ὑπέρ τε δύναμιν
αἱρεῖσθαι τὴν ἑαυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλα-
κήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλούσης καὶ ἐς τὸ δέον ὑπηγεομέ-
νης τῷ δοκεῖν κατατίθεσθαι καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυ-
νατῶν· ἡ γὰρ εὐογκίη ἀσφαλέστερον τῆς μεγαλογκίης.

## Περὶ κακοδαιμονίας. ρδ́.

20. Δημοκρίτου. Ἀπορίη ξυνὴ τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ
ὑπολείπεται ἐλπὶς ἐπικουρίης.

21. Νόσος οἴκου καὶ βίου γίγνεται, ὅκωσπερ καὶ σκήνεος.

## Ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία. ρέ.

59. Δημοκρίτου. Οὐκ ἔστιν οὔτ᾽ ἀσφαλὴς πλούτου ταμιεῖον,
ὃ οὐκ ἀνοίγει τύχης καιρός.

# Δημόκριτος.

## Ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα ὄντας ἀνθρώπους ἢ καὶ ἀρετὴν τὴν ὀφείλοντας. ρή.

64. Δημοκρίτου. Ἀλογιστίη μὴ ξυγχωρέειν λύπῃσι κατὰ τὸν βίον ἀναγκαίῃς.

67. Λύπην ἀδέσποτον ψυχῆς ναρκώσης λογισμῷ ἔκκρουε.

68. Μέγα τὸ ἐν συμφορῇσι φρονεῖν ἃ δεῖ.

69. Μεγαλοψυχίη τὸ φέρειν πρᾳέως πλημμέλειαν.

70. Πενίην ἐπιεικέως φέρειν σωφρονέοντος.

## Περὶ ἔρωτος. ρί.

18. Δημοκρίτου. (*) Ἐρωΐδες αἱ τῶν ὀρθὰ φρονεόντων ἐφικταί, αἱ δὲ τῶν ἀξυνέτων ἀδύνατοι.

19. Ἄλογοι τῶν ἀξυνέτων αἱ ἐρωΐδες.

## Ὅτι οὐ χρὴ ἐπιχαίρειν τοῖς ἀτυχοῦσι. ριβ́.

10. Δημοκρίτου. Οἷον ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.

## Ἔπαινος γήρως. ριέ.

19. Δημοκρίτου. Ἰσχὺς καὶ εὐμορφίη νεότητος ἀγαθά, γήραος δὲ σωφροσύνης ἄνθος.

# Δημόκριτος.

298

21. Ὁ γέρων νέος ἐγένετο, ὁ δὲ νέος ἄδηλον εἰ ἐς γῆρας ἀφίξεται. Τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος, ἔτι ἀδήλου, κρέσσον.

## Ψόγος γήρως. ρις´.

41. Δημοκρίτου. Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ᾽ ἔχει καὶ πᾶσιν ἐνδεῖ.

45. Αὐξανομένου τοῦ σώματος συναύξονται φρένες, γηράσκοντος δὲ συγγηράσκουσι καὶ εἰς τὰ πράγματα πάντα ἀμβλύνονται.

## Ἔπαινος θανάτου. ρκ´.

20. Δημοκρίτου. (*) Ἔνιοι θνητῆς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συνειδήσει δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνου.

Στοβαίου περὶ ὀργῆς.

53 κ Σωτίωνος εκ του Περὶ ὀργῆς β´.

Τοῖς δὲ σοφοῖς ἀντὶ ὀργῆς, Ἡρακλείτῳ μὲν δάκρυα,

Δημοκρίτῳ δὲ γέλως ἐπῄει. ..

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ